## XXXV [XLII G.–P.]

νὺξ μακρὴ καὶ χεῖμα, †μέσην δ' ἐπὶ Πλειάδα δύνει,
κἀγὼ πὰρ προθύροις νίσομαι ὑόμενος,
τρωθεὶς τῆς δολίης †κείνης† πόθῳ· οὐ γὰρ ἔρωτα
Κύπρις, ἀνιηρὸν δ' ἐκ πυρὸς ἧκε βέλος.

## XXXVI [XLVI G.–P.]

νῦν αἰτεῖς ὅτε λεπτὸς ὑπὸ κροτάφοισιν ἴουλος
ἕρπει καὶ μηροῖς ὀξὺς ἔπεστι χνόος·
εἶτα λέγεις "ἥδιον ἐμοὶ τόδε." καὶ τίς ἂν εἴποι
κρείσσονας αὐχμηρὰς ἀσταχύων καλάμας;

## XXXVII [XLVII G.–P.]

]ον ἀπὸ τρισσῶν ἕνα μάτηρ
]δ' ὑποδεξαμένα
]ντα τομῷ διέπαξε σιδάρῳ
] .ε Λάκαινα γυνά
]νπε [......] . νων

# CALLIMACHUS

## I (32*)

ὠγρευτής, Ἐπίκυδες, ἐν οὔρεσι πάντα λαγωόν
διφᾷ καὶ πάσης ἴχνια δορκαλίδος,